καὶ σκώμματα ἀναιρεῖ. πρῶτον μὲν ἐν τῷ προτέρῳ στίχῳ A ἐλλείπει τινὰ, ἃ καὶ αὐτὸς ὁ νοῦς, καὶ ἡ τοῦ μέτρου ὁλοκληρεία ἀπαιτεῖ. ὁ δὲ δεύτερος ἐν τοῖς τῶν παλαιῶν ἀντιγράφων χειρὶ γραφέντων ἴσως εἰς δύο μέρη κακῶς διαιρεθεὶς, δύο ἡμιστίχια γράμμασι κεχωρισμένοις κεχαραγμένα ἐποίει, καὶ ἀμφοῖν ἡ αὐτὴ ἀρχὴ ἦν, καὶ μονονοὺκ ὁ αὐτὸς νοῦς. τοῦτο τοῖς τυπογράφοις τοῖς τὸ πρᾶγμα ἀμελέστερον ἐξετάζουσι παρέσχεν ἀφορμὴν τοῦ τηρεῖν τῶν δύο ἡμιστιχίων τὸ ἕτερον, καὶ τὸ ἕτερον ὡς περιττὸν παραλείπειν. καὶ γὰρ ἔν τισι τῶν ἐκτυπωθέντων ἀντιγράφων οὕτω γράφεται ,, Καὶ τοι τοιοῦτον ὑπάρξει. ἐν ἄλλοις δὲ, ,, Καὶ τοι τὸ περὶ τούτων δὴ μάχεσθαι. εἰ δὲ ταῦτα συνάψῃς μίαν, ἢ δύο συλλαβὰς μεθαρμόζων ὁλόκληρον στίχον ποιήσεις. οὕτως οὖν γραπτέον,

Οὐχὶ μαχοῦνται, Πρ. περὶ τοῦ; Βλ. περὶ τοῦ μὴ πρώτας ξυγκαταδαρθεῖν.

Καὶ τοι τοιοῦτον ὑπάρξει. Πρ. καὶ τοι τὸ περὶ τῶνδε μάχεσθαι.

Τὸ μὲν ἡμέτερον.

Ἵνα δὲ ταύτης τῆς ἡμετέρας ἐπανορθώσεως ὁ λόγος, καὶ ἡ πίστις καλῶς ἔχῃ, τὸ πρᾶγμα ἄνωθεν ἐξ ἀρχῆς ἐπαναληπτέον, καὶ ἐπιμελέστερον ἐξεταστέον. πρῶτον μὲν τί ποτε τοὺς ἄνδρας ποιεῖν ἡ Πραξαγόρα ἤθελε, δῆλον ἐκ τῶν προηγουμένων. Βλέπυρος ταῦτα ἀδύνατα ὄντα νομίζων, καὶ τοὺς λόγους προφέρων, οἷς πεισθεὶς οὕτως ἐφρόνει, νῦν πρὸς τούτοις λέγει καὶ ζητεῖ, Οὐχὶ μαχοῦνται; αἱ

A γυναῖκες δηλονότι. ἡ δὲ Πραξαγόρα ἀποκρίνεται. περὶ τοῦ; περὶ τίνος; ὁ δὲ Βλέπυρος λέγει, μὴ πρώτας ξυγκαταδαρθεῖν. τουτέστι περὶ τῶν ἐν τοῖς ἀφροδισίοις πρωτείων. εἶτα ἐπιφέρει, καὶ τοι τοιοῦτον ὑπάρξει. τί; τὸ ὑπὲρ τούτων μάχεσθαι. διὰ τούτων δὲ ὑποσημαίνει αὐτὴν γραῦν, καὶ δυσειδῆ γυναῖκα εἶναι. ἡ δὲ τοῦτο νοήσασα, καὶ αὐτὴ τῷ αὐτῷ σκώμματι χρησαμένη ἀποκρίνεται, Καὶ τοι τὸ περὶ τῶνδε μάχεσθαι. τουτέστιν ἡ αὐτὴ περὶ τῶν αὐτῶν μάχη καὶ σοὶ ὑπάρξει. περὶ τῶν αὐτῶν καὶ σαυτοῦ ἀντιλογεῖν, φιλονεικεῖν, ἐρίζειν δεήσει. ὁρᾷ νῦν πῶς ἅπαντα κατὰ ταύτην τὴν γραφὴν B καλῶς ἔχει. εἴ τις μέν τοι τοῖς πρότερον σφάλμασιν ἀκολουθεῖν, καὶ ταῦτα φυλάττειν βούλεται, οὐ διαμαχήσομαι τούτῳ. Τὸ μὲν ἡμέτερον.] ἡ Πραξαγόρα πρὸς τὸν ἐν ἀρχῇ ποιηθέντα λόγον ἐπανερχομένη διαμαρτυρεῖ φανερῶς ὅτι τῶν μὲν ἀνδρῶν ὀλίγην, μᾶλλον δὲ οὐδεμίαν ἔχουσα φροντίδα, τοῦτο μόνον διαπράξασθαι ἐβούλετο, ὅπως τὰ τῶν γυναικῶν πράγματα εὐτυχίας τύχῃ μεγίστης. τουτέστι περὶ τοῦτο μάλιστα ἐκ παντὸς τρόπου ἐσπούδαζεν ὅπως οὐδεμία τῶν γυναικῶν οὕτως εἴη δυστυχὴς, ὥστε οὐκ ἔχειν ᾧ τινι συνουσιάζειν δύναιτο. τὸ δὲ τρύπημα C νῦν μεταφορικῶς ληπτέον ἀντὶ τοῦ γυναικείου αἰδοίου, ὃ καὶ τρῆμα καλεῖται.

Ἐκπέσοι τοῦτο τρῆμα.

Λυσικράτης] ὁ Λυσικράτης κατὰ τὸν Σουίδαν, σιμὸς, αἰσχρὸς, κλέπτης. καὶ ἄσημος ἦν.

Σχόλια. Καταχήνη] καταγέλως.

| | |
|---|---|
| Τοὺς πρεσβυτέρους αὐτῶν εἶναι τοῖσι χρόνοισι, νομιοῦσιν. | *Seniores ipsorum esse temporibus putabunt.* |
| Βλ. Οὔκουν ἄγξουσ' εὖ καὶ χρηστῶς ἑξῆς τὸν πάντα γέροντα | D *BLE. Non strangulabunt bene & utiliter ordinatim omnem senem* |
| Διὰ τὴν ἄγνοιαν, ἐπεὶ καὶ νῦν γιγνώσκοντες πατέρ' ὄντα | *Per ignorantiam: quoniam & nunc cognoscentes patrem existentem* |
| Ἄγχουσι. τί δῆθ' ὅτε ἀγνὼς ᾖ πῶς οὐ τότε κἀπιχεσοῦνται. | *Strangulant. quid certè quando ignorans sit, quomodo non tunc & cacabunt?* |
| Πρ. Ἀλλ' ὁ παρεστὼς οὐκ ἐπιτρέψει. τότε δ' αὐτοῖς οὐκ ἔμελ' οὐδὲν | *PR. Sed astans non committet, tunc autem ipsis non me nil* |
| Τῶν ἀλλοτρίων ὅς τις τύπτοι. νῦν δ' ἢν πληγέντος ἀκούσῃ, | *Alienorum qui verberabit: nunc autem si percussum audiet,* |
| Μὴ αὐτὸν ἐκεῖνον τύπτῃ δεδιὼς, τοῖς δρῶσι τοῦτο μαχεῖται. | E *Non ipsum illum verberabit, timens facientibus hoc pugnabit.* |
| Βλ. Τὰ μὲν ἄλλα λέγεις οὐδὲν σκαιῶς. εἰ δὲ προσελθὼν Ἐπίκουρος | *BLE. Hæc quidem alia dicis nil rude, si autem adueniens Epicurus,* |
| Ἢ Λευκολόφος πάππαν με καλεῖ, τοῦτ' ἤδη δεινὸν ἀκοῦσαι. | *Vel Leucolophus auum me vocabit, hoc iam graue audire.* |
| Πρ. Πολὺ μέντοι δεινότερον τούτου τοῦ πράγματός ἐστι. Βλ. τὸ ποῖον; | *PR. Multò quidem grauius hac re est. BLE. Qua?* |
| Πρ. Εἴ σε φιλήσειεν Ἀρίστυλλος φάσκων αὐτοῦ F πατέρ' εἶναι. | *PR. Si te osculabitur Aristyllus, dicens ipsius patrem esse.* |
| Βλ. Οἰμώζοι γ' ἂν καὶ κωκύοι. Πρ. σὺ δέ γ' ὄζοις ἂν καλαμίνθης. | *BLE. Lugebo & flebo. PR. Tu autem oles calamintham.* |
| Ἀλλ' οὗτος μὲν πρότερον γέγονε πρὶν τὸ ψήφισμα γενέσθαι. | *Sed hic quidem prius natus est ante sententias factas esse,* |
| Ὥστ' οὐχὶ δέος μή σε φιλήσῃ. Βλ. δεινὸν μέντ' ἂν ἐπεπόνθειν. | *Quare non timor, ne te osculetur. BLE. Graue passus sum,* |
| Τὴν γῆν δὲ τίς ἔσθ' ὁ γεωργήσων; Πρ. οἱ δοῦλοι. σοὶ δὲ μελήσει | G *Terram autem quis est culturus? PR. Serui. tibi autem curæ erit,* |

Σχόλια. Καλαμίνθης.] δυσώδης βοτάνη ἡ καλαμίνθη. καὶ ὄφεις ἐλαύνει καιομένη.